5 καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς, [5]οἱ λέγοντες Πότε διελεύ-
σεται ὁ μὴν καὶ ἐμπολήσομεν καὶ τὰ σάββατα καὶ ἀνοίξομεν θη-
σαυροὺς τοῦ ποιῆσαι μικρὸν μέτρον καὶ τοῦ μεγαλῦναι στάθμια
6 καὶ ποιῆσαι ζυγὸν ἄδικον [6]τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχοὺς καὶ
ταπεινὸν ἀντὶ ὑποδημάτων καὶ ἀπὸ παντὸς γενήματος ἐμπορευ-
7 σόμεθα; [7]ὀμνύει κύριος καθ᾽ ὑπερηφανίας Ιακωβ Εἰ ἐπιλησθήσε-
8 ται εἰς νεῖκος πάντα τὰ ἔργα ὑμῶν. [8]καὶ ἐπὶ τούτοις οὐ ταραχθή-
σεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ἀναβήσεται
9 ὡς ποταμὸς συντέλεια καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου. [9]καὶ
ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος ὁ θεός, καὶ δύσεται ὁ ἥλιος
10 μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς· [10]καὶ
μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος καὶ πάσας τὰς ᾠδὰς
ὑμῶν εἰς θρῆνον καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον καὶ ἐπὶ
πᾶσαν κεφαλὴν φαλάκρωμα καὶ θήσομαι αὐτὸν ὡς πένθος ἀγαπη-
11 τοῦ καὶ τοὺς μετ᾽ αὐτοῦ ὡς ἡμέραν ὀδύνης. [11]ἰδοὺ ἡμέραι ἔρχον-
ται, λέγει κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρ-
του οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου·
12 [12]καὶ σαλευθήσονται ὕδατα ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως
ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον κυρίου καὶ οὐ μὴ
13 εὕρωσιν. [13]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι αἱ καλαὶ
14 καὶ οἱ νεανίσκοι ἐν δίψει [14]οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμα-
ρείας καὶ οἱ λέγοντες Ζῇ ὁ θεός σου, Δαν, καὶ ζῇ ὁ θεός σου,
Βηρσαβεε· καὶ πεσοῦνται καὶ οὐ μὴ ἀναστῶσιν ἔτι.
9 [1]Εἶδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπεν
Πάταξον ἐπὶ τὸ ἱλαστήριον καὶ σεισθήσεται τὰ πρόπυλα καὶ διά-
κοψον εἰς κεφαλὰς πάντων· καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομ-
φαίᾳ ἀποκτενῶ, οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων, καὶ οὐ μὴ δια-
2 σωθῇ ἐξ αὐτῶν ἀνασῳζόμενος. [2]ἐὰν κατορυγῶσιν εἰς ᾅδου, ἐκεῖ-
θεν ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐ-
3 ρανόν, ἐκεῖθεν κατάξω αὐτούς· [3]ἐὰν ἐγκρυβῶσιν εἰς τὴν κορυφὴν
τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω καὶ λήμψομαι αὐτούς· καὶ ἐὰν
καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ
4 ἐντελοῦμαι τῷ δράκοντι καὶ δήξεται αὐτούς· [4]καὶ ἐὰν πορευθῶσιν
ἐν αἰχμαλωσίᾳ πρὸ προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντελοῦμαι
τῇ ῥομφαίᾳ καὶ ἀποκτενεῖ αὐτούς· καὶ στηριῶ τοὺς ὀφθαλμούς

5 οι > BC | θησαυρον BC | του ult. > A | σταθμιον B*L**C* || 6 πτωχους] pr. και B† || 7 καθ (A† κατ)] κατα της B† | επιλησεται A† || 9 ο θεος] κυριος BV*C*†: cf. 3 || 11 αρτων B*L*p || 12 σαλευθησονται BW*C*] -σεται A*L*, συναχθησονται Q† | εως 1⁰] της B† | κυριου] pr. του A*C* || 14 ο θεος 1⁰] pr. κυριος A

9 1 ιλαστηριον BW*LC*] θυσιαστ. AQ | διαφυγη] -φευξη A† | και ου] ουδε A, και > QW† || 2 κατορυγωσιν] κατακρυβωσιν B†: cf. 3 || 3 εγκρυβωσιν] κατακρυβ. *LC*, εγκατακρυβ. B†: cf. 2 || 4 τους οφθ.] το προσωπον A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/514 UNIVERSITÄT LEIPZIG